# TEZAUR LITURGIC

## 27 OCTOMBRIE

# CANONUL SF.MUCENIC NESTOR DE LA TESALONIC

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 27 ΟΚΤΩΒΡΙΟΥ
# ΝΕΣΤΟΡ ΜΑΡΤΥΣ
# ΚΑΝΟΝΑΣ

*ᾨδὴ α΄. Ἦχος α΄. Ἀναστάσεως ἡμέρα.*

Ἀγαλλόμενοι ἐνθέως ἐν τῇ μνήμῃ τῇ σῇ, Νέστορ Μαρτύρων κλέος, καὶ ἀκροθίνιον σεπτόν, τοὺς ἀγῶνας ἐν ᾠδαῖς, ᾀσμάτων τοὺς σούς, ὑμνοῦμεν δοξάζοντας, τὸν σὲ ἐνισχύσαντα.

Μονομάχε μυριόνικε Χριστοῦ Ἀθλητά, δός μοι τοὺς ἄθλους μέλψαι, καὶ ἀγωνίσματα τὰ σά, ἅπερ ἔτλης ἀνδρικῶς, τῷ πόθῳ Χριστοῦ, σοφὲ ἐκπυρούμενος, ᾧ καὶ ἔζης γηθόμενος.

Νέος ὤφθης ἐν πολέμοις, ἱκανῶς τῇ χειρί, ἄλλος Δαβὶδ ἀνδρεῖος, ὡς γὰρ αὐτὸς τὸν Γολιάθ, τὸν ἀντίπαλον καὶ σύ, ἐχθροὺς καθελών, εὐχαῖς Δημητρίου τοῦ κελινοῦ, στεφανίτα πανεύφημε.

*Θεοτοκίον.*

Παναγία Θεοτόκε τῶν πιστῶν ἡ ἐλπίς, σθένος τῶν Ἀθλοφόρων, καὶ ἡ ἀήττητος ἰσχύς, σὺ ὑπάρχεις ἀληθῶς, καὶ σῶμα καὶ νοῦν, Νέστορ τοῦ στεῤῥόφρονος, ταῖς εὐχαῖς σου νευρώσασα.

*ᾨδὴ γ΄. Δεῦτε πόμα.*

Δεῦτε πάντες ᾄσωμεν Χριστῷ, ἐπινίκιον ὕμνον τῷ ἐνισχύσαντι, τὸν ἑαυτοῦ Ἀθλητήν, νικῆσαι τὰς φάλαγγας ἐχθρῶν, Νέστορ τὸν θεόφρονα.

Ῥωμαλαίως ὥρμησας στεῤῥέ, πρὸς ἐνθέους ἀγῶνας καὶ ηὐτομόλησας, καὶ ἐναθλήσας λαμπρῶς, εὐχαῖς Δημητρίου τοῦ κλεινοῦ, τὸ στέφος ἀπείληφας.

Τῷ ὅπλῳ φραξάμενος Σταυροῦ, πρὸ βημάτων ἀθέων, παρέστης ἔνδοξε, καὶ διατόρῳ φωνῇ, Χριστὸν μὲν ἐκήρυξας Θεόν, τὴν δὲ πλάνην ᾔσχυνας.

*Θεοτοκίον.*

Εἱρκτῆς ἐντρυφῶν τοῖς ἀλγεινοῖς, ἐν κατανύξει θείᾳ Σου ὦ Θεόνυμφε, τὰ μεγαλεῖα ὑμνῶν, ὁ φίλος Δημήτριος, ἐν ᾠδαῖς θείαις οὐ διέλιπεν.

*ᾨδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.*

Τῆς σῆς ἀνδρείας τὸ στεῤῥόν, πάντας ἐξέπληξεν ἡμᾶς, ὅτε σὲ πρὸς πάλην ἔδραμες, ἑωρῶμεν ἔνδοξε, ἐν σταδίῳ, καὶ πάσας οὖν τὰς φάλαγγας, συνέκοψας Νέστορ, τὰς τῶν ἐχθρῶν, καὶ ῥωμαλαίως γὰρ ἐνήθλησας.

Τοῦ Δημητρίου τὰς εὐχάς, καὶ πίστει ὄντως τοῦ Χριστοῦ, ἔνδον κρατυνόμενος Νέστορ, θεῖος πόθος ἔνδοξε, ἐν σταδίῳ ἀνέδραμες πανεύφημε, καὶ ἔλυσας πάσας, τὰς τοῦ Λυαίου μηχανὰς παμμακάριστε.

*Θεοτοκίον.*

Ἰδοὺ καὶ τέτοκας ἁγνή, καὶ παρθενεύεις ἐν ταὐτῷ, θαῦμα πολυθαύμαστον, ὄντως φοβερὸν ξενήκουστον! Θεὸν γὰρ τὸν παντάνακτα, φέρουσα σαῖς ἀγκάλαις, θηλάζεις τὸν τροφοδότην, Χριστὸν Κόρη νήπιον.

*ᾨδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέους.*

Ὑμνοῦμεν τοὺς θείους ἀγῶνας, καὶ μετὰ δέους καὶ πόθου, κυκλοῦμεν τὴν τῶν λειψάνων, σεβασμίαν λάρνακα, τῶν σῶν Νέστορ ἔνδοξε, θείαν χάριν κομιζόμενοι.

Συνέλθωμεν ζέοντι πόθῳ, τῶν Ἀθλοφόρων ὕμνοις εὐφημῆσαι τὸ μέγα κλέος, Νέστορ τὸν ἀήττητον, τῆς εὐσεβείας πρόμαχον, καὶ τῶν πιστῶν ἀντιλήπτορα.

Ἐξ οἰκείων Νέστορ αἱμάτων, τὴν πορφυρίδα τὴν σαὐτοῦ ἐφοίνιξας Ἀθλοφόρε, καὶ Χριστῷ παρίστασαι, μετὰ Μαρτύρων ἔνδοξε, στέφει ἀφθάρτῳ κοσμούμενος.

*Θεοτοκίον.*

Πανύμνητε Θεογεννῆτορ, ὑπὲρ τοῦ κόσμου δυσώπει, τὸν Κύριον καὶ Θεόν Σου, καὶ εἰρήνην αἴτησαι, καὶ τῶν δεινῶν τὴν λύτρωσιν, τοῖς εὐλαβῶς Σοι προσφεύγουσιν.

*ᾨδὴ στ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.*

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ θανάτου τὴν ἰσχὺν, ὡς Δεσπότης καθεῖλε, τὴν πρὶν κροτοῦσαν Χριστόν, ὅθεν σήμερον, σοῦ θανόντος Ἀθλητὰ ἀγαλλόμεθα Νέστωρ.

Ἀνῆλθες ἐν ταῖς ἀνωτάταις τιμαῖς, καὶ παρέστησας νυνί, τῷ Δεσπότῃ ἐν δόξῃ, ἀνεκλαλήτῳ Χριστῷ, τοῖς σοῖς αἵμασι, φοινιχθείσης σου λαμπρῶς Ἀθλοφόρε.

*Θεοτοκίον.*

Καὶ τίκτεις καὶ πάλιν ἁγνεύεις ὡς πρίν, φοβερὸς ὁ τοκετός, μητρανύμφευτε Κόρη, καὶ ἀνεκλάλητος, τὸν ὑπέρχρονον, βρερωθέντα καθ' ἡμᾶς, ὑπὲρ ἔννοιαν τίκτεις.

*Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Τὸν μεγάλα καυχώμενον Ἀθλητά, ἐξαλείφειν τὴν θάλασσαν καὶ τὴν γῆν, ἄθλοις σου κατέῤῥαξας, καὶ εἰς γῆν καταβέβληκας, ὡς Γολιὰθ τὸν πάλαι, Δαβὶδ ὁ θαυμάσιος, καὶ νικητὴς ἐκείνου ἐφάνης λαμπρότατος, ὅπλοις ἀοράτοις, τοῖς τοῦ Πνεύματος Μάρτυς, χρησάμενος ἔνδοξε, κατ' αὐτοῦ, ὅθεν εἴληφας, ἀφθαρσίας τὸν στέφανον, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, Νέστορ τὴν σὴν ἄθλησιν.

*Ὠδὴ ζ΄. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.*

Λυαίου τὴν ἰσχὺν παμμακάριστε, καθεῖλες θείᾳ χάριτι Νέστορα σοφέ, τῇ δυναστείᾳ τοῦ Σταυροῦ, τῶνν πιστῶν τὰς καρδίας κατελάμπρυνας, καὶ κράζων ᾀεί· τοῦ Δημητρίου ὁ Θεός, εὐλογητός σοι εἰς τοὺς αἰῶνας.

Σφραγίδι σημανθείς σου τὴν καρδίαν, γενναίως κατέτρωσας, δόρατι σοφέ, τῆς σῆς ἀνδρείας, τὴν καρδίαν Κυαίου, καὶ χαίρων ἀνέκραζες· ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

*Θεοτοκίον.*

Ὁλόφωτε σκηνὴ θεοδόμητε, λυχνία κατάχρυσε, στάμνε κιβωτέ, θεοκατοίκητε ναέ, ξενοβλάστησε ῥάβδε, Μητράναδρε, τοὺς Σοὺς ἱκέτας ἡμᾶς, πολυώνυμε Κόρη διαφύλαττε.

*ᾨδὴ η΄. Αὕτη ἡ κλητή, καὶ ἁγία ἡμέρα.*

Ἄγει σου πιστῶς, εὐσεβούντων τὰ πλήθη, τὴν μνήμην Ἀθλοφόρε, ἐν ἱεραῖς ὑμνωδίαις, πρὸς Χριστὸν εὐκλεῆ σε προβάλλοντα, μεσίτην πανεύφημε, αἰτοῦντα τὴν λύσιν, εὐχαῖς τῶν πταισμάτων.

Ὕμνους ὡς εὐώδη, συλλέξαντες ἄνθη, ἄλλου Παραδείσου, τοῦ θεοπνεύστου ψαλτῆρος, δεῦτε στέφος λαμπρὸν ᾀσματόπλοκον, τῷ Μάρτυρι πλέξωμεν, ἠρίστευσε γὰρ καθελὼν σατὰν τὸ κράτος..

Ἆρον πρὸς Θεόν, τὰς ἁγίας σου χεῖρας, προσάγων ἱκεσίαν, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην σου, κινδύνων ῥυόμενος, ἔχων παῤῥησίαν ἀθλητικὴν παμμάκαρ.

*Θεοτοκίον.*

Ἴδε ἣν προέφης, Προφήτα Παρθένον, συνέλαβεν ἀσπόρως, ἡ Βασιλὶς καὶ Κυρία, καὶ ὡς Μήτηρ γεννᾶ, τὸν Παντάνακτα, πανάφθορος, μείνασα μυστήριον ξένον ὁ τοκετός Σου Κόρη.

*ᾨδὴ θ΄. Φωτίζου, φωτίζου.*

Εὐφραίνου, ἀγάλλου, μετὰ Μαρτύρων παρεστώς, τῷ ἀδτέκτῳ νῦν θρόνῳ, τῆς Τριάδος ἔνδοξε, θείας τρυφῆς

ἀκορέστως τρυφῶν, καὶ τῆς τερπνῆς, τῶν ἀπαυγασμάτων, θείας ἀεὶ ἐμπιπλώμενος.

Ὢ θείας, ἀῤῥήτου, καὶ ἀκεφράστου χαρμονῆς! ἧς μετέχειν ἐνθέως, αἰωνίως ἔνδοξε, ἐν οὐρανῷ ἠξιώθεις κλεινέ, καὶ τερπωλῆς, Νέστορ νικηφόρε, ἐν ταῖς Ἁγίων λαμπρότησιν.

Ὢ Νέστορ θεόφρον, σὺν Δημητρίῳ τῷ κλειν«ψ, ἀγαθεοὶ γὰρ οἱ δύο, μηδαμῶς ἐλλίπητε, τόνδε τὸν χῶρον φρουροῦντες ἀεί, καὶ πειρασμῶν ὅλας μυριάδας, μετακινοῦντες ἀμφότεροι.

*Θεοτοκίον.*

Ἰσχύς τε καὶ κράτος, ὑπάρχεις Δέσποινα ἁγνή, καὶ ἀνδρείᾳ καὶ ῥώμη, Ἀθλητῶν ἀήττητος, τὸν ἰσχυρὸν τετοκυῖα Θεόν, καὶ τῶν γερῶν, τῶν ἀνεκλαλήτων, καὶ ἀϊδίων ἡ πρόξενος.

